UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Moralia

**Plutarchus**

**Francofurti, 1620**

Ne suaviter quidem vivi posse secundum Epicuri decreta

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1372

Visual Library

τὰς δὲ ποιότητας οὐκέτι βούλονται καλεῖν ἀΰλους. καίτοι πῶς οἷόν τε σῶμα ποιότητος ἄνευ ποιῆσαι, ποιότητα σώματος ἄνευ μὴ νοοῦντας; ὁ γὰρ συμπλέκων σῶμα πάσῃ ποιότητι λόγος, οὐδενὸς ἐᾷ μὴ σύν τινι ποιότητι σώματος ἅπτεσθαι τὴν διάνοιαν. ἢ τοίνυν πρὸς τὸ ἀσώματον τῆς ποιότητος μαχόμενον, μάχεσθαι καὶ πρὸς τὸ ἄποιον τῆς ὕλης ἔοικεν· ἢ θατέρου θάτερον ἀποκρίνων, καὶ ἀμφότερα χωρίζει ἀλλήλων. ὃν δέ τινες αὐτῶν προβάλλονται λόγον, ὡς ἄποιον τὴν οὐσίαν ὀνομάζοντες, οὐχ ὅτι πάσης ἐστέρηται ποιότητος, ἀλλ᾽ ὅτι πάσας ἔχει τὰς ποιότητας, μάλιστα παρὰ τὴν ἔννοιάν ἐστιν. B οὐδεὶς γὰρ ἄποιον νοεῖ τὸ μηδεμιᾶς ποιότητος ἄμοιρον, οὐδὲ ἀπαθὲς τὸ πάντα πάσχειν ἀεὶ πεφυκός, οὐδὲ ἀκίνητον τὸ πάντῃ κινητόν. ἐκεῖνο δὲ οὐ λέλυται, κἂν ἀεὶ μετὰ ποιότητος ἡ ὕλη νοῆται, τὸ ἑτέραν αὐτὴν νοεῖσθαι καὶ διαφέρουσαν τῆς ποιότητος.

A qualitates porrò materiæ expertes dicere nolunt. At quî potest corpus absque qualitate facere, qui qualitates sine corporibus nõ intelligit? Quæ n. ratio corpus cum omni qualitate connectit, nõ patitur intellectum corpus vllum sine qualitate attingere. Aut igitur qualitatem incorpoream negans etiam materiam qualitatis expertem esse inficiari videtur: aut alterum ab altero secernens, vtraq; inuicem separat. Quam verò nonnulli eorum prætexunt ratione, materiam qualitatis vacuam dici, non quòd omni sit spoliata qualitate, sed quia omnibus prædita qualitatibus, maximè cõmuni sensui repugnat. Nemo quippe id qualitatis exsors intelligit, quod nullius qualitatis non sit particeps: neq; ab affectione immune id, quod ea est natura vt omnia pati possit: neq; immobile, quod omnibus modis mouetur. Illud autem solutum nõ est, etiam si semper cum qualitate intelligatur materia, aliam eam intelligi, & differentem à qualitate.

# ΠΛΟΥΤΑΡΧΟΥ,

## Ὅτι οὐδὲ ζῆν ἔστιν ἡδέως κατ᾽ Ἐπίκουρον.

C

ΚΟΛΩΤΗΣ ὁ Ἐπικούρου συνήθης βιβλίον ἐξέδωκεν, ἐπιγράψας ὅτι κατὰ τὰ τῶν ἄλλων φιλοσόφων δόγματα οὐδὲ ζῆν ἐστιν. ὅσα τοίνυν ἡμῖν ἐπῆλθεν εἰπεῖν πρὸς αὐτὸν ὑπὲρ τῶν φιλοσόφων, ἐγράφη πρότερον· ἐπεὶ δὲ καὶ τῆς σχολῆς διαλυθείσης, ἐγένοντο πλείονες ἐν τῷ περιπάτῳ πρὸς τὴν αἵρεσιν, ἔδοξέ μοι καὶ τούτους ἀναλαβεῖν, εἰ καὶ D δι᾽ ἄλλο μηδέν, ἀλλ᾽ ἐνδείξεως ἕνεκα τοῖς εὐθύνουσιν ἑτέρους, ὅτι δεῖ τοὺς λόγους ἕκαστον ὧν ἐλέγχει καὶ τὰ γράμματα μὴ παρέργως διελθεῖν, μηδὲ φωνὰς ἀλλαχόθεν ἄλλας ἀποσπῶντα, καὶ ῥήμασιν ἄνευ γραμμάτων ἐπιτιθέμενον, ἀποκρούεσθαι τοὺς ἀπείρους. προελθόντων γὰρ ἡμῶν εἰς τὸ γυμνάσιον, ὥσπερ εἰώθειμεν, ἐκ τῆς διατριβῆς, Ζεύξιππος, Ἐμοὶ μὲν (ἔφη) δοκεῖ πολὺ τῆς προσηκούσης ὁ λόγος εἰρῆσθαι παρρησίας μαλακώτερον· ἀπίασι δ᾽ ἡμῖν ἐγκαλοῦντες οἱ περὶ Ἡρακλείδην, τοῦ Ἐπικούρου καὶ τοῦ Μητροδώρου, ἡμῶν μηδὲν αἰτίων ὄντων, θρασύτερον καθαψάμενοι. E καὶ ὁ Θέων, Εἶτα οὐκ ἔλεγες (εἶπεν) ὅτι τοῖς ἐκείνων ὁ Κολώτης παραβαλλόμενος, εὐφημότατος ἀνδρῶν φαίνεται; τὰ γὰρ ἐν ἀνθρώποις αἴσχιστα ῥήματα, βωμολοχίας, ληκυθισμούς, ἀλαζονείας, ἑταιρήσεις, ἀνδροφονίας, βαρυστόνους, πολυφθόρους, βαρυεγκεφάλους συναγαγόντες, Ἀριστοτέλους, καὶ Σωκράτους, καὶ Πυθαγόρου, καὶ Πρωταγόρου, καὶ Θεοφράστου, καὶ Ἡρακλείδου, καὶ Ἱππάρχου, καὶ τίνος γὰρ οὐχὶ τῶν ἐπιφανῶν κατεσκέδασαν; ὥστε εἰ καὶ τὰ ἄλλα πάντα σοφῶς εἶχεν αὐτοῖς, F διὰ τὰς βλασφημίας ταύτας καὶ κατηγορίας, ποῤῥωτάτω σοφίας ἂν εἴργεσθαι. φθόνος γὰρ ἔξω θείου χοροῦ καὶ ζηλοτυπία δι᾽ ἀσθένειαν ἀποκρύψαι μὴ δυναμένη τὸ ἀλγοῦν. ὑπολαβὼν οὖν ὁ Ἀριστοτέλης, Ἡρακλείδης οὖν (ἔφη) γραμματικὸς ὢν, ἀντὶ τῆς ποιητικῆς τύρβης

# PLVTARCHI

## Commentarius Ne suauiter quidem viui posse secundum Epicuri decreta, docens.

COLOTES Epicuri familiaris librum edidit, hoc indice, Ne viui quidem posse iuxta aliorum philosophorum decreta. Contra quem quæ pro philosophis differere nobis subiit, ea iam antè conscripsimus. Quoniam autem soluto qui disputationi interfuerat cœtu, in ambulatione cõplures ad eam sectam se dederunt, visum mihi fuit hos quoque in viam reducere: si nullam aliam ob rem, saltem vt his qui in alios inquirunt, demonstrarē debere ab his eorum quos arguũt aut refellunt scripta non obiter percurri, neque eos voces hinc inde auulsas & dictiones absq; scriptura adoriri, itaq; fraudem imperitis facere. Progressis n. nobis more nostro in gymnasium è schola, Zeuxippus: Mihi, inquit, sermo fuisse videtur habitus aliquanto molliùs, q̃ libertas cõueniens rei exigeret. abit quidem Heraclides nos culpans, & in Epicurũ ac Metrodorũ asperiùs inuectus, cùm nos ei huius rei causam præbuerimus nullã. Hoc verò, inquit Theo, nõ dicis, q cum his comparatus Colotes, hominũ in dicendo videri potest modestissimus. Congesta n. in vnũ quæ inter homines habētur fœdissima vocabula, scurrilitates, ampullas, arrogantias, scortationes, homicidia, graues gemitus, multorum perditionē, cerebri grauedines: in Aristotelem, Socratem, Pythagoram, Protagorã, Theophrastũ, Heraclidem, Hipparchum, deniq; neminem nõ virorum illustrium effuderunt vniuersa, vt si alioquin omnia sapiēter statuissent, certè ob maledicta hæc, hasq; criminationes longissimè fuerint à sapientia arcēdi. Inuidentia n. excludenda est à diuino sapientum choro, & obtrectatio quę ob imbecillitatē id quod dolet dissimulare nõ potest. Hæc verba excipiens Aristoteles, Heraclides, aiebat, grammaticus cum sit, poeticę turbæ

A maxime quidem his qui beati putantur, quibus dulcedo gustum præbẽs eorum quæ amissuri sunt, esca est doloris. Quam enim lætitiam, quam perceptionem voluptatis, quam exsultationem non expellat & frangat continenter ad animum accidens cogitatio, fore vt in infinitum is tãquam vastum in mare effundatur, apud eos qui pulcrum & beatitudinem in voluptate ponunt? Tum si, quæ est Epicuri opinio, plerisque vsu venit vt cum dolore intereant: plane nullam admittit consolationem mortis metus, per mala ad priuationem bonorum ducentis. Præterea non defatigantur Epicurei pugnando & omnes homines cogendo, vt malorum B euitationem pro bono ducant, pro malo autem bonorum abolitionem non reputent: interim fatentur, mortem omni spe ac gaudio carere, sed præcisa esse omnia iucunda & bona. quo quidem tempore multa pulcra, magna, diuinaque exspectant, qui animos interitus expertes esse sentiunt & immortales, aut qui longas quasdam temporis circuitiones alias in terra alias in cœlo peragrãdo cõficiant, donec vna cum mundo dissoluantur, cum Sole & Luna in ignem mente præditum conflagrantes. Huiusmodi campum voluptatum tantarum Epicurus exscindit, & iis quæ diuinitus sperantur, C (vti docuimus) muneribusq; deorum sublatis, studio cognoscendæ veritatis facultati contemplatrici, actrici cupiditate honorem ademto, naturam in lætitiam animi corporis gratia conceptam, nimis hanc angustam, ac ne puram quidem, conijcit atque includit: tanquam si natura maius aliud bonum, quam est mali fuga, haberet nullum.

A καὶ μάλιστα τοῖς εὐδαιμονεῖν δοκοῦσιν, οἷς δέλεάρ ἐστι λύπης τὸ ἡδὺ, γινομένοις ὧν στερήσονται. τίνα γὰρ εὐφροσύνην ἢ ἀπόλαυσιν καὶ βρυασμὸν οὐκ ἂν ἐκχύσειεν καὶ καταγάγοι ἐμπίπτουσα συνεχῶς ἡ ἐπίνοια τῆς ψυχῆς, ὥσπερ εἰς πέλαγος ἀχανὲς τὸ ἄπειρον ἐκχεομένης τῶν ἐν ἡδονῇ πεπεισμένων τὸ καλὸν καὶ μακάριον; Εἰ δὲ δὴ καὶ κατ' ἀλγηδόνος (ὥσπερ Ἐπίκουρος οἴεται) τοῖς πλείστοις ἀπόλλυσθαι συμβαίνει, παντάπασιν ἀπαρηγόρητός ἐστιν ὁ τοῦ θανάτου φόβος, εἰς ἀγαθῶν στέρησιν διὰ κακῶν ἄγοντος. καὶ πρὸς ταῦτα μὲν οὐκ ἀποκαμοῦνται μαχόμενοι καὶ βιαζόμενοι πάντας ἀνθρώπους, ἀγαθὸν μὲν ἡγεῖσθαι τὴν τῶν κακῶν ἀποφυγὴν, B κακὸν δὲ μηκέτι νομίζειν τὴν τῶν ἀγαθῶν στέρησιν. ἐκεῖνο δὲ ὁμολογοῦσι, τὸ μηδεμίαν ἐλπίδα μηδὲ χαρὰν ἔχειν τὸν θάνατον, ἀλλὰ ἀποκεκόφθαι πᾶν τὸ ἡδὺ καὶ τὸ ἀγαθὸν, ἐν ᾧ χρόνῳ πολλὰ καλὰ καὶ μεγάλα καὶ θεῖα προσδοκῶσιν οἱ τὰς ψυχὰς ἀνωλέθρους εἶναι διανοούμενοι καὶ ἀφθάρτους, ἢ μακράς τινας χρόνων περιόδους, νῦν μὲν ἐν γῇ, νῦν δὲ ἐν οὐρανῷ περιπολούσας, ἄχρις οὗ συνδιαλυθῶσι τῷ κόσμῳ, μετ' ἡλίου καὶ σελήνης εἰς πῦρ νοερὸν ἀναφθεῖσαι. C τοιαύτην χώραν ἡδονῶν τοσούτων Ἐπίκουρος ἐκτέμνεται, καὶ ταῖς ἐκ θεῶν ἐλπίσιν (ὥσπερ εἴρηται) καὶ χάρισιν ἀναιρεθείσαις, ἐπὶ τοῦ θεωρητικοῦ τὸ φιλομαθὲς καὶ τοῦ πρακτικοῦ τὸ φιλότιμον ἀποτυφλώσας, εἰς στενόν τι κομιδῇ καὶ οὐδὲ καθαρὸν τὸ ἐπὶ τῇ σαρκὶ τῆς ψυχῆς χαῖρον συνέστειλε, καὶ κατέβαλε τὴν φύσιν ὡς μεῖζον ἀγαθὸν τοῦ τὸ κακὸν φεύγειν οὐδὲν ἐχουσαν.

# PLVTARCHI D

## aduersus Colotem Liber.

Colotes, quẽ Epicurus solebat Colotaram & Colotarium blãdiẽdi causa diminuta voce appellare, librũ edidit hac inscriptione, Secũdum aliorum philosophorũ decreta ne viui quidem posse: eumque regi Ptolemæo dedicauit. Quæ verò nobis aduersus Colotem disputare subiit, exi- E stimo te, Saturnine, cum voluptate lecturum si perscripsero: vt qui honestis rebus antiquitatisque studio tenearis, hancque maxime regiam delectationem esse censeas, memoria complecti & in promtu habere quantum eius fieri potest, veterem doctrinam. Nuper, cum is liber recitaretur, vnus de sociis nostris Aristodemus Aegiensis, quem nosti, secta Academicus, & non ferulam gestans quod aiunt, sed ardentissimo instinctu Platonis orgia celebrãs, nescio quomodo præter morem suum silẽtiũ cum tenuisset, & ad finẽ vsq; modeste auditorẽ se præbuisset: absoluta lectione, Agedum, inquit, F quemnã huic opponemus pro philosophis propugnaturũ? Non enim admodum probo Nestorem, qui de IX heroibus cum deberet præstantissimum deligere, fortunæ & sorti rem commisit. Atqui vides, aiebam, ipsum se sortitioni præfecisse, vt prudẽtissimo homine eã moderante conficeretur. itaq;

# ΠΛΟΥΤΑΡΧΟΥ

## πρὸς Κολώτην.

Κολώτης, ὃν Ἐπίκουρος εἰώθει Κολωτάραν ὑποκορίζεσθαι καὶ Κολωτάριον, ὦ Σατορνῖνε, βιβλίον ἐξέδωκεν, ἐπιγράψας περὶ τοῦ ὅτι κατὰ τὰ τῶν ἄλλων φιλοσόφων δόγματα οὐδὲ ζῆν ἐστιν. ἐκεῖνο μὲν οὖν Πτολεμαίῳ τῷ βασιλεῖ προσπεφώνηται· ἃ δὲ ἡμῖν ἐπῆλθεν εἰπεῖν πρὸς τὸν Κολώτην, ἡδέως ἂν οἶμαί σε γεγραμμένα διελθεῖν, φιλόκαλον καὶ φιλάρχαιον ὄντα, καὶ τὸ μεμνῆσθαι καὶ διὰ χειρῶν ἔχειν, ὡς μάλιστα δυνατόν ἐστι, τοὺς λόγους τῶν παλαιῶν, βασιλικωτάτην διατριβὴν ἡγούμενον. ἔναγχος οὖν ἀναγινωσκομένου, εἷς τῶν ἑταίρων Ἀριστόδημος ὁ Αἰγιεὺς (οἶσθα γὰρ τὸν ἄνδρα τῶν ἐξ Ἀκαδημίας οὐ ναρθηκοφόρον, ἀλλὰ ἐμμανέστατον ὀργιαστὴν Πλάτωνος) οὐκ οἶδα ὅπως παρὰ τὸ εἰωθὸς ἐγκαρτερήσας σιωπῇ, καὶ παρασχὼν ἑαυτὸν ἀκροατὴν ἄχρι τέλους κόσμιον, ὡς τέλος ἔσχεν ἡ ἀνάγνωσις, Εἶεν, ἔφη, τίνα τούτῳ μαχούμενον ἀνίσταμεν ὑπὲρ τῶν φιλοσόφων; οὐ γὰρ ἄγαμαι τοῦ Νέστορος, ἑλέσθαι δέον ἐκ τῶν ἐννέα τὸν ἄριστον, ἐπὶ τῇ τύχῃ ποιουμένου, καὶ διακληροῦντος. ἀλλὰ ὁρᾷς, ἔφην, ὅτι κἀκεῖνος ἐπὶ τὸν κλῆρον ἑαυτὸν ἔταξεν, ὥστε τοῦ φρονιμωτάτου βραβεύοντος γίνεσθαι τὸν καταλογον·